**Τετάρτη 12 Ἰουνίου. Τετάρτη τῆς ϛ' ἑβδομάδος ἀπὸ τοῦ Πάσχα. Ἡ ἀπόδοσις τοῦ Πάσχα καὶ τῆς ἑορτῆς τοῦ Τυφλοῦ, καὶ τὰ προεόρτια της ἐνδόξου Ἀναλήψεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Μνήμη τοῦ Ὁσίου πατρὸς ἡμῶν Ὀνουφρίου.**

**Τυπικαὶ διατάξεις τῶν Ἱερῶν Ἀκολουθιῶν**

## Ἐν τῷ ἑσπερινῷ

Μετὰ τὸν εὐλογητόν, ψάλλομεν τὸ· *Χριστὸς ἀνέστη…*ἐκ γ' καὶ εἶτα ὁ προοιμιακὸς ψαλμὸς καὶ ἡ μεγάλη συναπτὴ, μεθ' ἣν στιχολογοῦμεν τὸ ἐνδιάτακτον Θ' Κάθισμα τοῦ Ψαλτηρίου. Εἰς δὲ τὸ· *Κύριε ἐκέκραξα…* ἱστῶμεν στίχους ς' καὶ ψάλλομεν τὰ ἓξ ἰδιόμελα τοῦ Τυφλοῦ· *Ὁ Τυφλὸς γεννηθεὶς…Παράγων ὁ Ἰησοῦς ἐκ τοῦ ἱεροῦ…Ὅλον το βίον ὁ Τυφλός… Κύριε, παράγων ἐν τῇ ὁδῷ…Δικαιοσύνης Ἥλιε νοητέ…Ὁ διὰ σπλάχνα ἐλέους σαρκωθεὶς…*Δόξα…Καὶ νῦν…τὸ ἰδιόμελον τοῦ Τυφλοῦ· *Τὶς λαλήσει τὰς δυναστείας σου Χριστέ…*Εἴσοδος, τὸ· *Φῶς ἱλαρόν…*καὶ τὸ προκείμενον τῆς ἡμέρας· *Τὸ ἔλεός σου Κύριε…*μετὰ τῶν στίχων αὐτοῦ. Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον στιχηρὸν· *Σὲ τὸν σαρκωθέντα Σωτῆρα Χριστόν…*εἶτα τὰ δ' στιχηρὰ τοῦ Πάσχα· *Πάσχα ἱερὸν ἡμὶν σήμερον…Δεῦτε ἀπὸ θέας γυναῖκες εὐαγγελίστριαι…Αἱ Μυροφόροι γυναῖκες…Πάσχα τὸ τερπνόν…*μετὰ τῶν στίχων αὐτῶν. Δόξα…Καὶ νῦν· *Ἀναστάσεως ἡμέρα…* Τὸ· *Νῦν ἀπολύεις…*,τὸ τρισάγιον κτλ. Εἶτα τὸ ἀναστάσιμον Ἀπολυτίκιον· *Τὸν συνάναρχον λόγον Πατρὶ καὶ Πνεύματι…*Δόξα…Καὶ νῦν…τὸ θεοτοκίον· *Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος…*Ἀπόλυσις.

## Ἐν τῷ ἀποδείπνῳ

Ἐν τῷ μικρῷ ἀποδείπνῳ, ψάλλομεν τὸν κανόνα τοῦ Ὁσίου πατρὸς ἡμῶν Ὀνουφρίου, σὺν τοῖς στιχηροῖς τοῦ ἑσπερινοῦ καὶ τῷ καθίσματι τοῦ ὄρθρου. Εἰς τὸ τρισάγιον, τὸ κοντάκιον τοῦ Πάσχα· *Εἰ καὶ ἐν τάφῳ…* Κανόνα δὲ τοῦ Θεοτοκαρίου καὶ οἴκους τῆς Θεοτόκου οὐ λέγομεν.

## Ἐν τῷ μεσονυκτικῷ

Ἀναγινώσκομεν τὸ καθ' ἡμέραν μεσονυκτικὸν ὡς ἔθος ἐν τῷ νάρθηκι. Εἰς τὸ β' τρισάγιον, τὸ κοντάκιον τοῦ Πάσχα· *Εἰ καὶ ἐν τάφῳ*…Εἰς δὲ τὸ γ' τρισάγιον, τὸ κοντάκιον τοῦ Τυφλοῦ· *Της ψυχῆς τὰ ὄμματα πεπηρωμένος*...καὶ τὰ λοιπά τοῦ μεσονυκτικοῦ.

## Ἐν τῷ ὄρθρῳ

**Μετὰ τὸν εὐλογητόν** του ἱερέως, ψάλλομεν τὸ· *Χριστὸς ἀνέστη*…ἐκ γ', εἶτα Δόξα…Καὶ νῦν…*Παναγία Τριάς*…*Πάτερ ἡμῶν*…*Ὅτι σοῦ ἐστίν*… Τὰ τροπάρια· *Σῶσον Κύριε τὸν λαόν σου*…*Ὁ ὑψωθεῖς ἐν τῷ Σταυρῷ*… *Προστασία φοβερά*…καὶ καθεξῆς ὁ ἑξάψαλμος. Εἰς τὸ· *Θεὸς Κύριος*…τὸ ἀναστάσιμον ἀπολυτίκον· *Τὸν συνάναρχον λόγον Πατρὶ καὶ Πνεύματι*… Δόξα· *τὸ αὐτό*…Καὶ νῦν…τὸ θεοτοκίον· *Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος*…Εὐθὺς ἡ στιχολογία τοῦ Ψαλτηρίου ὡς ἑξῆς: ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον* γ', Δόξα, καὶ νῦν…Καὶ ἀναγινώσκει τὸ Ι' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι σὸν τὸ κράτος*…Ὁ χορός· *Ἀμήν*, καὶ ψάλλονται τὰ ἀναστάσιμα καθίσματα· *Τὸν Σταυρὸν τοῦ Κυρίου ἐγκωμιάσωμεν*…Δόξα· *Κύριε, νεκρὸς προσηγορεύθης*…Καὶ νῦν…τὸ θεοτοκίον· *Χαῖρε ἅγιον ὄρος καὶ θεοβάδιστον*…Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον* γ', *Δόξα, καὶ νῦν.* Καὶ ἀναγινώσκει τὸ ΙΑ' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος*…Ὁ χορός· *Ἀμήν*, καὶ ψάλλεται το κάθισμα τοῦ Τυφλοῦ· *Τῷ Πατρὶ καὶ τῷ Πνεύματι*…Δόξα…Καὶ νῦν· *τὸ αὐτὸ*…Εἶτα τὸ· *Ἀνάστασιν Χριστοῦ*…καὶ ὁ ν' ψαλμὸς χῦμα.

**Εἶτα οἱ κανόνες·** τοῦ Πάσχα μετὰ τῶν εἱρμῶν εἰς ϛ' τροπάρια, τοῦ Τυφλοῦ, ἄνευ εἱρμοῦ, εἰς δ' τροπάρια καὶ ὁ προεόρτιος της Ἀναλήψεως, ἄνευ εἱρμοῦ, εἰς δ' τροπάρια. Οὐ λέγομεν δὲ στίχους ἐκ τῶν ᾠδῶν, ἀλλ'

εἰς μὲν τὰ ἀναστάσιμα τροπάρια τό· *Δόξα τῇ ἁγίᾳ Ἀναστάσει σου Κύριε,* εἰς δὲ τὰ ἄλλα τό· *Δόξα σοὶ ὁ Θεὸς ἡμῶν δόξα σοί.* Καταβασίαι· *Ἀναστάσεως ἡμέρα...*Ἀπὸ γ' ᾠδῆς, κοντάκιον τοῦ Τυφλοῦ· *Της ψυχῆς τὰ ὄμματα πεπηρωμένος...*καὶ ὁ οἶκος αὐτοῦ· *Ῥεῖθρον μοὶ δώδησαι Χριστέ...*Εἶτα τὸ κάθισμα τοῦ Τυφλοῦ· *Ὠμμάτωσας Χριστέ...*Δόξα...Καὶ νῦν...τὸ προεόρτιον τῆς Ἀναλήψεως· *Ἐτέχθης ὡς αὐτός...*Ἀφ' ἕκτης, κοντάκιον τοῦ Πάσχα· *Εἰ καὶ ἐν τάφῳ...*καὶ ὁ οἶκος αὐτοῦ· *Τὸν πρὸ ἡλίου Ἥλιον...* Συναξάριον τοῦ Μηναίου. **Ἡ τιμιωτέρα οὐ στιχολογεῖται**, ἀλλὰ ψάλλεται ἡ θ' ᾠδὴ τοῦ κανόνος τοῦ Πάσχα, μετὰ ἐξ μεγαλυναρίων, καὶ ἡ θ' ᾠδὴ τοῦ Τυφλοῦ καὶ τοῦ προεορτίου της Ἀναλήψεως μετὰ τοῦ ῥηθέντος στίχου.

**Ἐξαποστειλάριον** τοῦ Πάσχα· *Σακρὶ ὑπνώσας...*καὶ τοῦ Τυφλοῦ· *Τους νοερούς μου ὀφθαλμούς...*Εἰς τοὺς αἴνους, ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ ἰδιόμελα τοῦ Τυφλοῦ· *Ὁ Τυφλὸς γεννηθεῖς...Παράγων ὁ Ἰησοῦς... Ὅλον τὸν βίον ὁ Τυφλὸς νύκτα λογιζόμενος...Κύριε, παράγων ἐν τῇ ὁδῷ...* καὶ τὰ δ' στιχηρὰ τοῦ Πάσχα· *Πάσχα ἱερὸν ἡμὶν σήμερον...Δεῦτε ἀπὸ θέας γυναῖκες εὐαγγελίστριαι...Αἱ Μυροφόροι γυναῖκες...Πάσχα τὸ τερπνόν...*μετὰ τῶν στίχων αὐτῶν. Δόξα...Καὶ νῦν· *Ἀναστάσεως ἡμέρα...* Δοξολογία μεγάλη, καί τὸ ἀναστάσιμον ἀπολυτίκιον· *Τὸν συνάναρχον λόγον Πατρὶ καὶ Πνεύματι...*Δόξα...Καὶ νῦν...τὸ θεοτοκίον· *Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος...*Ἐκτενής, ἀπόλυσις καὶ ἡ α' ὥρα ἐν τῷ νάρθηκι.

## Ἐν ταῖς ὥραις

Λέγομεν δὲ ἐν ταῖς ὥραις, Δόξα...τὸ ἀναστάσιμον ἀπολυτίκιον· *Τὸν συνάναρχον λόγον Πατρὶ καὶ Πνεύματι...*Καὶ νῦν...τὸ θεοτοκίον τῶν ὡρῶν. Εἰς δὲ τὸ τρισάγιον, τὸ κοντάκιον τοῦ Πάσχα· *Εἰ καὶ ἐν τάφῳ...*

## Εἰς τὴν Λειτουργίαν

Μετὰ τό· *Εὐλογημένη ἡ βασιλεία...*τό· *Χριστὸς ἀνέστη...*ἐκ γ' καὶ ἡ μεγάλη συναπτή. Εἶτα τὰ τυπικά, ὡς ἔθος καὶ ἐν τοῖς μακαρισμοῖς ἡ γ' καὶ ἡ ς' ᾠδὴ τοῦ κανόνος τοῦ Πάσχα, μετὰ τῶν εἱρμῶν, εἰς η' τροπάρια. Εἰ-

σοδικὸν τὸ· *Δεῦτε προσκυνήσωμεν…ὁ ἀναστᾶς ἐκ νεκρῶν…*Ἀπολυτίκιον, τὸ ἀναστάσιμον· *Τὸν συνάναρχον λόγον Πατρὶ καὶ Πνεύματι…*Δόξα…τὸ κοντάκιον τοῦ Τυφλοῦ· *Της ψυχῆς τὰ ὄμματα…*Καὶ νῦν…τὸ κοντάκιον τοῦ Πάσχα· *Εἰ καὶ ἐν τάφῳ…*Τὸ τρισάγιον. Προκείμενον καὶ ἀλληλουϊάριον τοῦ Πάσχα. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας, ἤτοι· Ἀπόστολος· *Κατελθῶν ὁ Παῦλος εἰς Καισάρειαν…*(Πράξ. ιη' 22-28), ὁ ζήτει τῇ Τετάρτῃ τῆς ϛ' ἑβδομάδος ἀπὸ τοῦ Πάσχα. Εὐαγγέλιον· *Ἕως τὸ φῶς ἔχετε…*(Ἰωάν. ιβ' 36-47), ὁ ζήτει τῇ Τετάρτῃ τῆς ϛ' ἑβδομάδος ἀπὸ τοῦ Πάσχα. Εἰς τὸ Ἐξαιρέτως τὸ· *Ὁ Ἄγγελος ἐβόα…Φωτίζου φωτίζου…*Κοινωνικὸν· *Σῶμα Χριστοῦ μεταλάβετε…*Ἀντὶ τοῦ· *Εἴδομεν τὸ Φῶς…*τὸ· *Χριστὸς ἀνέστη…ἅπαξ*. Μετὰ τὴν ὀπισθάμβωνον εὐχή, τὸ· *Εἴη τὸ ὄνομα Κυρίου...*ἐκ γ'. Δόξα…Καὶ νῦν…οἱ ψαλμοὶ· *Εὐλογήσω τὸν Κύριον…Ὑψώσω σὲ ὁ Θεός μου…*καὶ ἡ ἀπόλυσις.

Εἰς δὲ τὴν τράπεζαν γίνεται παράκλησις τοῖς ἀδελφοῖς μεγάλη, δι᾽ ἰχθύος.

## Εἰς τὴν θ' ὥραν

Περὶ ι᾽ ὥραν τῆς ἡμέρας, σημαίνει καὶ συναχθέντες ἐν τῷ ναῷ ἀναγινώσκομεν ὡς συνήθως τὴν θ' ὥραν τρίψαλμον. Μετὰ δὲ τὴν εὐχὴν· *Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν ὁ μακροθυμήσας…*ψάλλομεν τὸ· *Χριστὸς ἀνέστη…*ἐκ γ' καὶ εἶτα ὁ ἱερεὺς· *Δόξα σοὶ Χριστὲ ὁ Θεός…Ὁ ἀναστᾶς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν…*καὶ ποιεῖ μικρᾶν ἀπόλυσιν, μεθ᾽ ἣν ἀντὶ τοῦ· *Δι᾽ εὐχῶν…*λέγει τὸ· *Χριστὸς ἀνέση…ἅπαξ*. Εἶτα λαμβάνει τὴν εἰκόνα τῆς ἀναστάσεως καὶ εἰσέρχεται εἰς τὸ ἅγιον Βῆμα. Μετὰ δὲ τάυτα ἐπισυνάπτομεν τὸν μικρόν ἑσπερινόν της Ἀναλήψεως.

Καὶ οὕτως ἀποδίδοται ἡ ἑορτὴ τῆς ἁγίας καὶ ζωηφόρου τοῦ Χριστοῦ Ἀναστάσεως, λήγει δὲ καὶ τὸ· *Χριστὸς ἀνέστη…*